eul_wid: nuw-ad

*Μέλαμπους ὁ Μάντις* · Melampus the Diviner

# On What Pulses Indicate in Each Part

*Περὶ παλμῶν τί σημαίνουσιν ἐν ἑκάστῳ μέρει*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

**ΜΕΛΑΜΠΟΔΟΣ ΠΕΡΙ ΠΑΛΜΩΝ ΤΙ ΣΗΜΑΙΝΟΥΣΙΝ ΕΝ ΕΚΑΣΤΩ ΜΕΡΕΙ. Κεφαλῆ τρίχες: ἐὰν σταθῶσιν ὀρθαί, ἐπιβουλὴν σημαίνει.**

2 Κορυφὴ πάλλουσα ὁδὸν μακρὰν πορευθῆναι δηλοῖ. Κεφαλῆς τὸ εὐώνυμον πάλλον: ἐχθρῶν καὶ ἀντιδίκων ἐπιβουλὴν σημαίνει.

4 Κεφαλῆς τὸ ἐκ δεξιῶν πάλλον: λύπας πολλὰς ἐπὶ τὴν καρδίαν σημαίνει. Κεφαλὴ ὅλη πάλλουσα: ἀγαθὰ σημαίνει.

6 Μέτωπον τὸ εὐώνυμον πάλλον: συμβολὴν μάχης δηλοῖ. Μέτωπον τὸ δεξιὸν πάλλον: γάμον σημαίνει.

8 Μετώπου τὸ μέσον πάλλον: πένθος σημαίνει. Κρόταφος ὁ εὐώνυμος πάλλων: μάχην δηλοῖ.

9a Κροτάφου τὸ δεξιὸν μέρος πάλλον: εὐφρασίαν δηλοῖ. Ὀφρὺς δεξιὰ πάλλουσα: νόσον δηλοῖ.

11 Εὐώνυμος δέ: εὐφρασίαν δηλοῖ. Ὀφθαλμοῦ δεξιοῦ τὸ ἄνω βλέφαρον πάλλον: ἐπίκτησιν δηλοῖ.

13 τοῦ αὐτοῦ ὁ βολβὸς ἢ ὁ κανθὸς φόβον καὶ δειλίαν σημαίνει. τοῦ αὐτοῦ τὸ κάτω βλέφαρον: λύπην καὶ δάκρυα σημαίνει.

15 τοῦ αὐτοῦ ἡ οὐρά: εὐφρασίαν σημαίνει. τοῦ δὲ εὐωνύμου τὸ ἄνω βλέφαρον: εὐπορίαν σημαίνει.

17 τοῦ αὐτοῦ τὸ κάτω βλέφαρον: δειλίαν σημαίνει. τοῦ αὐτοῦ ἡ οὐρά: ἀγαθὰ πολλὰ σημαίνει.

19 τοῦ αὐτοῦ ὁ κανθὸς ἢ ὁ βολβός: νωθρείας σημαίνει. Περὶ ῥινός: Ῥὶς ὅλη πάλλουσα: ἀγαθὰ σημαίνει.

21 Μῆλον δὲ δεξιὸν πάλλον: ἀγαθὰ σημαίνει. τὸ δὲ εὐώνυμον: ὠφέλειαν σημαίνει.

23 Σιαγὼν εὐώνυμος: εὐτυχίαν σημαίνει. Γνάθος εὐώνυμος: ἀλλότριον κάματον σημαίνει.

25 Σιαγὼν δεξιά: ἐχθρῶν ἐπανάστασιν δηλοῖ. Γνάθος δεξιά: ἀγαθὸν σημαίνει.

27 Ὠτίον δεξιόν: λόγους τινὰς καινοὺς τινῶν πραγμάτων σημαίνει. Εὐώνυμον δέ: ἀγαθὰ πολλὰ σημαίνει.

29 Γένειον ὅλον: πολὺ γήρως σημαίνει. Γενείου τὸ δεξιὸν μέρος: ἀγαθὸν σημαίνει, τὸ δὲ εὐώνυμον: εὐφρασίαν σημαίνει.

31 Οὐρανίσκος: θορύβους σημαίνει. Χελύνιον δεξιόν: ἀπορίας σημαίνει.

33 Εὐώνυμον δέ: ζημίαν δηλοῖ. Χεῖλος τὸ μὲν ἄνω: ὠφέλειαν σημαίνει.

35 Χεῖλος τὸ κάτω: μετὰ ἀγωνίας πρᾶξιν σημαίνει. Στόμα ὅλον: χρόνιόν τινα φίλον ἢ συγγενῆ ἔρχεσθαι ἀπὸ ἀποδημίας σημαίνει.

37 Γλῶσσα δὲ τὰς ἀπὸ λόγων ταραχάς τινας ἐπιφέρει. Ὀδόντες δὲ ἢ συγκρούοντες ἢ γομφιῶντες εὐπορίας σημαίνουσιν.

39 Οὖλα πάλλοντα εὐπορίαν δηλοῖ. Τράχηλος δὲ πολὺν κίνδυνον καὶ ταλαιπωρίαν.

41 τὸ δὲ δεξιὸν πράγματα ἀλλότρια ἀναδίξασθαι δηλοῖ. τὸ δὲ εὐώνυμον ἀγαθὸν φίλον ἀποδέξασθαι δηλοῖ.

43 Τενάντιον προστασίαν πόλεως καὶ ἀλλοτρίων πραγμάτων σημαίνει. Αὐχὴν κακόν τι ὑπόμνημα σημαίνει.

45 Κατακλεὶς εὐώνυμος ἐπιβουλὴν σημαίνει. Κατακλεὶς δεξιὰ εὐωχίαν σημαίνει.

47 Ὦμος εὐώνυμος κακοῦ πράγματος μετοχὴν δηλοῖ. Ὦμος δεξιὸς ἀξίων μετοχὴν σημαίνει.

49 Ὠμοπλάτη εὐώνυμος εὐφρασίαν σημαίνει. Ὠμοπλάτη δεξιὰ ἐχθρῶν ἐπικράτησιν σημαίνει.

51 Ἀκρώμιον εὐώνυμον εὐφρασίαν σημαίνει. Ἀκρώμιον δεξιὸν ἐπιβουλὴν σημαίνει.

53 Μάλη δεξιὰ πάλλουσα μάχας σημαίνει. Μάλη δὲ εὐώνυμος ἀγαθὰ σημαίνει.

55 Βραχίων εὐώνυμος εὐφρασίαν δηλοῖ. Βραχίων δεξιὸς αὔξησιν σημαίνει.

57 Μῦς εὐώνυμος πολλῶν πραγμάτων κέρδος σημαίνει. Μῦς δεξιὸς λύπην δηλοῖ.

59 Ἀγκὼν εὐώνυμος εὐφρασίαν δηλοῖ. Ἀγκὼν δεξιὸς ὠφέλειαν σημαίνει.

61 Πῆχυς εὐώνυμος πολλὰ ἀγαθὰ σημαίνει. δεξιὸς δὲ κέρδος ἀπροσδόκητον σημαίνει.

63 Καρπὸς εὐώνυμος πολλὴν ἐπίκτησιν δηλοῖ. Χειρὸς εὐωνύμου τὸ κοῖλον πολλὴν δόξαν τινὰ ποιεῖ.

65 Χειρὸς δεξιᾶς τὸ κοῖλον ἀγαθὸν δηλοῖ. Χειρὸς εὐωνύμου τὸ ἐπάνω κέρδος δηλοῖ.

67 Χειρὸς δεξιᾶς τὸ ἐπάνω μέρος μάχας σημαίνει. Δάκτυλος δεξιᾶς ὁ μικρὸς μάχας δηλοῖ.

69 ὁ παρὰ τὸν μικρὸν εὐπορίας σημαίνει. ὁ μέσος δὲ νίκην δηλοῖ.

71 δάκτυλος δὲ ὁ παρὰ τὸν μέσον κυρίευσιν τινῶν πραγμάτων σημαίνει. Δάκτυλος ὁ μέγας κυρίευσιν χρημάτων δηλοῖ.

73 Περὶ τὴν εὐώνυμον χεῖρα: Δάκτυλος εὐωνύμου ὁ μικρὸς ἀγαθὸν ἀπροσδόκητον σημαίνει.

75 Δάκτυλος ὁ παρὰ τὸν μικρὸν φίλον κτήσασθαι σημαίνει. Δάκτυλος μέσος λύπην δηλοῖ.

77 Δάκτυλος ὁ παρὰ τὸν μέσον εὐφρασίαν δηλοῖ. Ὁ δὲ μέγας αὔξησιν βίου δηλοῖ.

79 Περὶ ὀνύχων: Ὄνυχες τῆς εὐωνύμου χειρὸς πάλλοντες ἢ μυρμηκιῶντες κέρδος δηλοῦσιν. Τῆς δὲ δεξιᾶς τὸ αὐτὸ ποιοῦσιν ἀηδίαν σημαίνει.

81 Περὶ μαστῶν: Μαστὸς εὐώνυμος εὐπορίαν δηλοῖ. Ὁ δεξιὸς δὲ ἔνδοξόν τινα ποιῆσαι σημαίνει.

83 Στῆθος: δεξιὸν μέρος καὶ αὐτὸ ἀγαθὸν σημαίνει. Τὸ δὲ εὐώνυμον ἀγαθὰ δηλοῖ.

85 Ἧπαρ πάλλον εὐθηνίας δηλοῖ. Σπλὴν πάλλων ἀγαθὰ σημαίνει.

87 Νώτου τὸ δεξιὸν μέρος ὕβριν δηλοῖ. Τὸ δὲ εὐώνυμον εὐφρασίαν σημαίνει.

89 Κοιλία ὠφέλειαν δηλοῖ. Γαστὴρ εὐωχίαν σημαίνει.

91 Λαγὼν δεξιὸς εὐωχίαν δηλοῖ. Ὁ δὲ εὐώνυμος ἀποδημίαν δηλοῖ.

93 Πλευρὰ δεξιὰ ὠφέλειαν σημαίνει· δούλῳ ἀξίαν, χήρᾳ γάμον, χήρᾳ ἔγκλημα, στρατιώτῃ ὠφέλειαν. Εὐώνυμος δὲ μετὰ κακοπαθείας εὐπραγίας σημαίνει· παρθένῳ ψόγον, χήρᾳ καταβολήν, στρατιώτῃ εὐφρασίαν δηλοῖ.

95 Ἰσχίον δεξιὸν ὑπὸ ἰδίων ἀχαριστίαν δηλοῖ. Ψοιὰ δεξιὰ ἀσθένειαν σημαίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

97 Εὐώνυμος κάματον σημαίνει. Ὀσφὺς εὐώνυμος παρέχειν πράγματα ὑφ’ ὧν εὐφρανθῆναι σημαίνει.

99 Ὀσφύος τὸ μέσον κέρδος σημαίνει. Ἥβη πάλλουσα ἀγαθὰ παρά τινος σημαίνει.

101 Βουβὼν εὐώνυμος πορισμὸν σημαίνει. Ὑπόταυρος ψόγον δηλοῖ.

103 Σφιγκτὴρ κέρδος αἰφνίδιον δηλοῖ. Αἰδοῖον πάλλον περὶ τέκνων ἕξιν χαρὰν σημαίνει.

105 Ἱερὸν ὀστοῦν ἐπίκτησιν σημαίνει. Βάλανος εὐφρασίαν δηλοῖ.

107 Ὄρχις δεξιὸς ἀγαθὸν σημαίνει. Πυγὴ δεξιὰ ἀγαθὸν σημαίνει.

109 Εὐώνυμος δὲ ἀπροσδόκητον εὐφρασίαν σημαίνει. Κοτύλη δεξιὰ ἐπὶ ἀπροσδοκήτων εὐφροσύνην σημαίνει.

111 Κοτύλη εὐώνυμος ἀγαθὸν σημαίνει. Γλουτὸς εὐώνυμος εὐεξίαν σημαίνει Γλουτὸς δεξιὸς αἰτίαν σημαίνει.

114 Μηρὸς δεξιὸς ἀγαθὸν σημαίνει. Ὁ δὲ εὐώνυμος μεγάλην ἀξίαν σημαίνει.

116 Γόνυ δεξιὸν κακοπαθείας σημαίνει. Τὸ δὲ εὐώνυμον ἀηδίαν σημαίνει.

118 Ἀγκύλη δεξιὰ ἀηδίαν σημαίνει μεγάλην. Ἡ δὲ ἀριστερὰ εὐφρασίαν δηλοῖ.

120 Γαστροκνήμιον δεξιὸν εὐφρασίαν δηλοῖ. Τὸ δὲ ἀριστερὸν ἐπίκτησιν ἀγαθὴν δηλοῖ.

122 Κερκὶς δεξιὰ λύπην ὑπὸ αἰτιῶν σημαίνει. Ἡ δὲ ἀριστερὰ ὁδὸν ἐπὶ κέρδος δηλοῖ.

124 Ἀντικνήμιον δεξιὸν ἀγαθὸν δηλοῖ. Ἀριστερὰ δὲ πονηρὸν σημαίνει.

126 Κνήμη δεξιὰ ὁδὸν μακρὰν πορευθῆναι δηλοῖ. Ἡ δὲ ἀριστερὰ ἀρρωστίαν σημαίνει.

128 Σφυρὸν δεξιὸν ὠφέλειαν δηλοῖ· τὸ δὲ ἀριστερὸν ἀγαθὸν δηλοῖ.

130 Ἀστράγαλος ἀριστερὸς τοὺς ὑπεναντίους νικήσειν σημαίνει. ὁ δὲ δεξιὸς ὁδοῦ μῆκος.

132 Πτέρνα δεξιὰ εὖ πορηθῆναι δηλοῖ. Ἡ δὲ ἀριστερὰ δίκας δηλοῖ.

134 Ποδὸς δεξιοῦ τὸ ἄνω ὁδὸν πορευθῆναι σημαίνει· Ὁμοίως δὲ καὶ τοῦ ἀριστεροῦ ποδὸς τὸ ἄνω· Ταρσὸς δεξιὸς καλὸν δηλοῖ· Ὁ δὲ ἀριστερὸς εὐφρασίαν δηλοῖ.

138 Ποδὸς δεξιοῦ τὸ κοῖλον ὁδὸν πορευθῆναι σημαίνει. ὁμοίως καὶ τὸ ἀριστεροῦ.

140 Πέλμα δεξιὸν πορευθῆναι δηλοῖ. τὸ δὲ ἀριστερὸν χρονίαν ἀποδημίαν δηλοῖ.

142 Τὸ πλάγιον τοῦ βήματος τοῦ δεξιοῦ τὸ περὶ τὸν μέγαν δάκτυλον ἀσθένειαν δηλοῖ. Τοῦ δὲ ἀριστεροῦ ποδὸς εὐφρασίαν δηλοῖ.

144 Δάκτυλος μικρὸς τοῦ δεξιοῦ ποδὸς ὠφέλειαν δηλοῖ. ὁ δεύτερος ἐργασίαν δηλοῖ.

146 ὁ τρίτος ἀγαθὸν σημαίνει. ὁ τέταρτος ὠφέλειαν δηλοῖ.

148 ὁ μέγας ἀναχώρησιν σημαίνει. Ὄνυχες τοῦ δεξιοῦ· ἐὰν μυρμηκιασθῶσι μαλακισθῆναι σημαίνει πρὸς ὀλίγον· ἐὰν ὄνυξ τοῦ μικροῦ μυρμηκιασθῇ ἀγαθὰ εἶναι.

151 ὁ δεύτερος ἀποδημίαν σημαίνει. ὁ τρίτος ἀηδίαν.

153 ὁ τέταρτος ὠφέλειαν. ὁ μέγας ἀγαθὸν σημαίνει.

155 Ὄνυχες ἀριστεροῦ ποδός· ἐὰν μυρμηκιάσωσι, πλουσίῳ μὲν πενίαν, πένητι δὲ πλοῦτον σημαίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org